ὁ ἄπειρος χρόνος παρείλκετο, οὔτε τοῦ πρὸ τοῦ παρελθόντος· ἀλλ᾽ ὥσπερ αὐτὸς ἀγαλλιώμενος καὶ τὸ σύμπαν ἐπιπορευόμενος ἀκμητί, τοῦ ζωτικοῦ καὶ παμφαοῦς ἐμπιπλῶν χύματος· οὕτω δὲ τοῦ τῆς δικαιοσύνης ἡλίου Χριστοῦ καὶ δημιουργοῦ τοῦ τῶν φωστήρων, τὴν σήμερον ἑορτῶν ἑορτὴν καινὴν ποιούμενον πρόοδον, τὰ αὐτὰ μετὰ τοῦ Δαβὶδ ᾄδειν προσαγόμεθα· ὡς ἠγαλλιάσατο καὶ αὐτὸς ὡς νυμφίος ἐκπορευόμενος ἐκ παστοῦ αὐτοῦ, ὡς γίγας δραμεῖν ὁδὸν αὐτοῦ καὶ διὰ μέσης ἐλάσαι τῆς Ἱερουσαλήμ· καὶ σχεδιάσαι καινότατον θρίαμβον· ἡ μὲν γὰρ ἔξοδος αὐτοῦ ἀπ᾽ ἄκρου τοῦ οὐρανοῦ. ἐκεῖθεν γὰρ ἀνεκφοιτήτως, τὴν τῆς ἡμετέρας σωτηρίας ὁδὸν τεμεῖν ἤρξατο· τὸ δὲ κατάντημα αὐτοῦ ἕως ἄκρου τοῦ οὐρανοῦ τουτέστιν ἐπὶ τῶν κατωτάτων τοῦ ᾅδου μερῶν· ἐκεῖ γὰρ ὁ τῆς οἰκονομίας πεπεράτωται δρόμος· ἵνα μηδὲ αὐτὸ ὑπὸ γῆν τῆς ζωογόνου τοῦ θεοῦ ἀπολειφθῇ κυβερνήσεως. κἀκεῖθεν αὖθις ὥσπερ ἀπὸ δυσμῶν νέος ἀνέσχε· καὶ ἐς τὸν αὐτοῦ οὐράνιον χῶρον ἀποκαθίσταται· πρὶν ἢ μέντοι ἐλεύσεται ἐν ᾅδῃ καὶ ἐν νεκροῖς ἐπιφανῇ, προπέμπει ὥσπερ ἀκτῖνα θεανδρικὴν φωτός· καὶ τὸν τετραήμερον νεκρὸν ἀνεζωπύρησε δι᾽ αὐτῆς· κἀκ τῶν ψυχρῶν τοῦ ᾅδου χειρῶν ἀνείλκυσεν· ἐπὶ τὰ ἆθλα τοῦ πολέμου σήμερον· καὶ τὸν παρόντα σχεδιάζει θρίαμβον, ὁ τῆς εἰρήνης πρᾶος βασιλεύς· οὐχὶ ἵππων ἐπὶ χρυσοφαλάρου κέλητος ἢ ἄλλως ἐπὶ χρυσοκολλήτου δίφρου ξενιζόμενος· ἀλλ᾽ ὄνῳ ἐπὶ πτωχικῶς πενιχρῶς ἐποχούμενος· ἠκροβολίσατο τὸν θάνατον ὁ ὄντως βασιλεύς· καὶ τῆς τοῦ ᾅδου προνομῆς ἐνταῦθα ἤρξατο· καὶ τῶν ἐκεῖθεν λαφύρων ἐξείλετο πρῶτον τὸν φιλούμενον Λάζαρον μόνῃ φωνῇ· δειλίαν τὰ τοῦ τυράννου ὀχυρώματα ἔθετο· καὶ ἐκ μέσης τῆς φάρυγγος τοῦ παμφάγου θηρὸς τὸ ἴδιον πρόβατον ὁ ποιμὴν ὁ καλὸς ἀνέσπασεν· ἐν τοῖς κάτω σπηλαίοις τὸν Λάζαρον συλλαβὼν ὅλης τῆς· ἀλλὰ δεσποτικῆς φωνῆς μόνον ἀκούσας

http://digital.slub-dresden.de/ppn345490649/11